καὶ ἄθυρον θήραμα τοῦ πονηροῦ τὸν ἀνθρώπινον γί-
νεσθαι. οὗτος δὲ τὰ τῶν μιασμάτων πρόδηλα περικόπτων,
καὶ ἃ κατέλιπε τῆς ἀκολασίας ἐπικαλύπτων, τά τε
μηδ' ἀκοῇ φορητὰ τῶν ἀσεβημάτων, ἢ συστέλλων, ἢ
καταμιγνὺς τοῖς συνεκτοτέροις, καὶ σύμπαν εἰπεῖν, κωδί-
προβάτου τὸν λύκον ἐναποκρύπτων, πολλοῖς μὲν ἔδοξε διδά-
σκαλος εὐσεβείας, καὶ ὁδηγὸς σωτηρίας· πολλοὺς δ'
ἀπροόπτως αὐτοῦ καταπεσόντας τῷ βαράθρῳ τῆς ἐσ-
της ἀπωλείας κατεκρήμνισε. Καὶ γὰρ οὐδὲ τοῖς πρό-
τερον ἠμελημένοις, ὅμως καὶ τοῦτο αὐτῷ σπουδαιότερον μη-
χανᾶται· ὥστε μὴ κατ' ἀρχὰς εὐθὺς τοῖς αὐτῷ
προσερχομένοις τὰ τελεώτερα τῶν ἀσεβημάτων θαῤῥεῖν
μηδὲ τῶν μυστηρίων προστιθέναι τὰ ἐξάγιστα. ὧν ἐστι τὸ
κεφάλαιον, ἄρνησις παντελὴς θεοῦ, καὶ τοῦ διαβόλου
δόξα καὶ κράτος, καὶ δημιουργίας ἰσχὺς, καὶ τιμὴ καὶ
οἰκείωσις. Οὐδὲν οὖν ἐκεῖνος τοιοῦτον καὶ ἐπίστευε τοῖς ἄρτι μυου-
μένοις. Ἀλλὰ πρῶτα μὲν τοῖς εὐαγγελικοῖς ἐπειρᾶτο κατα-
ῥυθμίζειν ῥήμασιν αὐτῶν τὰ ἤθη, καὶ μηδὲν ἐκέλευε
περὶ δόγματος. Καὶ τούτοις τέως καταπλήττειν τε καὶ κα-
ταγοητεύειν ἐπεχείρει, καὶ χειροήθεις ἀπεργάζεσθαι τοὺς μυου-
μένους. Ἐπειδὰν δὲ εὔνους εἶχεν, καὶ ὡς διδασκάλῳ,
καὶ σωτηρίας ἑώρα προσανέχοντας ὁδηγῷ, τότε καὶ τὸν
ὅλον τῆς ἀποστασίας ῥοῦν χανδὸν αὐτοῖς παρεῖχεν ἐκ-
ροφεῖν, καὶ τετελεσμένους ὁμοίους ἐκείνῳ ἀνηγόρευέ τε
καὶ ἀνεκήρυττε τὴν ἀσέβειαν. Τυχικὸν δ' αὐτὸν καὶ οὗ-
τος ὁ τρισαλιτήριος ἐπωνόμαζεν. Οὐ τὴν κλῆσιν ἐκ-
κλέπτων μόνον τῶν τοῦ μακαρίου Παύλου μαθητῶν· ἀλλὰ
καὶ αὐτὴν τὴν ὕπαρξιν καὶ ὑπόστασιν εἰς ἑαυτὸν με-

ταπλάττων

μυεῖσθαι